# 20-05-2022 Ἑσπερινός Πέμπτης μετά τὴν Μεσοπεντηκοστή

## † Ἀνακομιδὴ τῶν λειψάνων τοῦ Ἁγίου Νικολάου

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Ἦχος πλ. α΄ Πα




Ἅπαξ ὑπὸ τοῦ Ἱερέως καὶ δὶς ὑπὸ τῶν χορῶν.

Τὸ τρίτον.






Ψαλμὸς ργʹ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα...Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. *[καὶ μετὰ ἀπὸ κάθε αἴτηση]*

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης

Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ.

Ἦχος πλ. α' Νη




## ΕΤΕΡΑ.




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

# Εἰς τό, Κύριε ἐκέκραξα, ψάλλομεν Στιχηρὰ ι΄.

## Ψαλμὸς ρμ΄ (140)

### Ἦχος Πα



Κα τευ θυν θη τω η προ ο ο
ο σε ευ χη η η μου ως θυ μι α α μα
α ε νω ω ω πι ο ο ο ον σου ε παρ
σις τω ω ω ων χει ρω ω ων μου ου θυ σι
ι α ε ε ε σπε ε ρι ι νη η ει σα κου
σο ον μου Κυ υ ρι ι ε

## Στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς
## Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν

Ε αν α νο μι ας πα ρα τη ρη σης
Κυ ρι ε Κυ ρι ε τις υ πο στη σε
ται ο τι πα ρα σοι ο ι λα σμος ε
στιν

Ὤφθη φωτοφανὴς καὶ τερπνή, τῆς τοῦ Σωτῆρος, Ἀναστάσεως σήμερον, μεσότης ἡ παναγία, ὡς μεσημβρία φαιδρά, φρυκτωροῦσα κόσμον θείαις χάρισι, Χριστοῦ τῆς Ἐγέρσεως, λαμπαδοχοῦσα τεράστια, τῆς ἀφθαρσίας, ἀπαστράπτει τὰ σύμβολα, καὶ προδείκνυσι, τὴν εἰς ὕψος Ἀνάληψιν, φαίνει τὴν πολυέραστον, τοῦ Πνεύματος ἔλευσιν, Πεντηκοστῆς τῆς πανσέπτου, τὴν λαμπροτάτην πανήγυριν· διὸ καὶ παρέχει, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.




Δόξης ὡς θεϊκῆς ποταμός, τῆς ἑορτῆς νῦν μεσαζούσης ὁ Κύριος, τὰ ῥεῖθρα τῆς εὐσπλαγχνίας, πᾶσι παρέχων βοᾷ, οἱ διψῶντες δεῦτε, καὶ ἀρύσασθε. Πηγὴ συμπαθείας γάρ,

καὶ ἐλέους τὸ πέλαγος, αὐτὸς ὑπάρχων, βρύει κόσμῳ τὴν ἄφεσιν, πλύνει πταίσματα, καὶ καθαίρει νοσήματα, σῴζει τοὺς τὴν Ἀνάστασιν, αὐτοῦ ἑορτάζοντας, σκέπει τοὺς πόθῳ τιμῶντας, τὴν μετὰ δόξης Ἀνάληψιν, αὐτοῦ καὶ παρέχει, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.




**Μ**έσον τοῦ ἱεροῦ ἑστηκώς, ὁ ἀπερίγραπτος Θεός τε καὶ Κύριος· Θεὸς γὰρ ὑπῆρχε φύσει, κἂν δι᾽ ἡμᾶς βροτωθείς, περιγεγραμμένος, ὤφθη σώματι, τοῖς πᾶσιν ἀνέβλυζε, τὰ ζωήρρυτα ῥήματα τοῖς πᾶσι λέγων· Τὰς ψυχὰς ἐκκαθάρθητε, καὶ τοῦ καύσωνος, τῶν παθῶν ἀναψύξατε, μή τις ἀποστερήσοιτο, τῆς πόσεως ἄνθρωποι· θείαν γὰρ χάριν δωροῦμαι τῆς ἀθανάτου καὶ κρείττονος, καὶ τῆς βασιλείας, συμμεθέξει μοι τῷ κτίστῃ καὶ δοξασθήσεται.

Εἰς τὸ Κύριε ἐκέκραξα τοῦ Ἁγίου
Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Στίχος. Ο τι πα ρα τω Κυ ρι ω το ε λε ος και πολ λη παρ αυ τω λυ τρω σις και αυ τος λυ τρω σε ται τον Ι σρα ηλ εκ πα σων των α νο μι ων αυ του

Ὅτε ἐπινεύσει θεϊκῇ, ἡ σεπτὴ λειψάνων σου θήκη, μάκαρ Νικόλαε, ὥσπερ ὄλβος ἄσυλος, ἐκ γῆς ἀνέτειλε, τότε κρήνην ἀνέβλυσας, μύρων ἀκενώτων, μύρων μυριπνόων τε, μύρων τερπόντων ψυχάς, ὧν περ τῆς ὀσμῆς ὀσφρανθεῖσα, ἡ τερπνὴ Χριστοῦ Ἐκκλησία, σοῦ πανηγυρίζει τὴν μετάθεσιν.

Στίχος. Αι νει τε τον Κυ ρι ον παν τα τα ε θνη ε παι νε σα τε Αυ τον πα αν τες οι οι λα α οι

Ὅτε τῶν Μυρέων ἐκ τῆς γῆς, εἰς τὴν πόλιν Πάρον μετέβη, μάκαρ Νικόλαε, σῶμά σου τὸ ἅγιον, τότε συνέῤῥευσεν, ὁ λαὸς ἅπας ὕμνοις σε, προπέμποντες θείοις, καὶ σεπτῶς ἀπέθεντο τῷ τοῦ Προδρόμου ναῷ, ἔνθα ἀπετέλεσας πλεῖστα, θαύματα τοῖς κάμνουσι πᾶσι, καὶ μετ᾽ εὐλαβείας σοι προστρέχουσιν.

Στίχος.




Ὅτε μετετέθη τὸ σεπτόν, καὶ μεμυρισμένον σου σῶμα μάκαρ Νικόλαε, εἰς ναὸν τὸν ἅγιον, ὃν ᾠκοδόμησε, πόλις Πάρου εἰς δόξαν σου, τότε ἰαμάτων, καθ᾽ ἑκάστην ἔβλυζες ῥεῖθρα ἀκένωτα, πάθη ἀσθενῶν διαφόρων, τῶν προσκαλουμένων σε πίστει, καὶ σοὶ προστρεχόντων κατακλύζοντα.

## Εἰς τὸν Ἑσπερινόν. Δόξα. Ἦχος πλ. α' Πα.




ο ο ον τες Χαι ροις ο των Μυ ρε ων φρου ου
ρος και προ ε δρο ος σε ε πτος και στυ λος
α α α πε ρι ι τρε ε ε ε πτος Χαι αι
αι αι αι αι ροι οις φω στη ηρ παμ φα α ε
ε στα α α α α τε ο τα του κο σμου πε ε ε ε
ρα α α α τα δι α λα αμ πω ω ων τοις θα
αυ μα α α α σι Χαι ροι οις τω ων θλι
βο με ε ε νω ων η θει α χα α αρ μο ο συ
υ υ νη και αι α α δι κου με ε ε νων
θε ερ μο ο τα το ος προ στα α α α της
και νυν παμ μα α καρ Νι κο ο ο ο ο λα


α ε ε ε ε ε ε ε ε ε ε μη
παυ ση πρε σβευ ω ω ων Χριστω ω ω τω
ω Θε ε ε ω υ περ των πι στει και πο θω
τι μων των α α ει την χαρ μο συ υ νον και
πα νε ε ο ορ τον μνη η η μη η η ην
σου

Καὶ νῦν ...τῆς ἑορτῆς. Ἦχος πλ. β΄.

Και αι ναι νυ υ υν και α α ει και εις τους αι

αι ω ω ω νας των αι ω ω νων α α α α

μην

Της ε ορ της με ε σου ου σης της σης Χρι

στε Α α α να στα α α α α σε ε ε ε ως

και θει ει α α ας πα α α α ρου ου

ου σι ι ι ι ας του α γι ι ου ου ου σου

Πνε ε ευ μα α α α τος συ νελ θο ο

ον τες των ων θα α αυ μα α τω ω ων σου

α νυ μνου ου ου ου μεν τα α α μυ στη η


η ρι ι ι ι α εν η κα τα α πε εμ
ψον η η μιν το με ε γα ε λε ο ο ο
ο ος

## ΦΩΣ ΙΛΑΡΟΝ.

Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

## Προκείμενον.
## Τῇ Κυριακῇ ἑσπέρας.

### Ἦχος πλ. α' Νη




**Στίχ. Ο**ἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον.



## Προκείμενον.
## Τῇ Δευτέρᾳ ἑσπέρας.
## Ἦχος δ'.

Ἦχος Δι

Κυ υ ρι ος ει σα κου σε ται μου

εν τω κε κρα γε ε ναι με προς αυ το

ον (Δίς)

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον. Κυ ρι ος ει σα κου σε ται αι μου

εν τω κε κρα γε ναι με προς αυ το ο

ον

Προκείμενον.
Τῇ Τρίτῃ ἑσπέρας.
Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μου (Δὶς)

Στίχ: Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω η ης μου ου ου

Προκείμενον.

Τῇ Τετάρτῃ ἑσπέρας.

Ἦχος πλ. α'

Ο Θε ος εν τω ο νο μα τι σου σω σον

με και εν τη δυ να μει σου κρι νει ει ει εις

με (Δίς)

Στίχ. Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι

σου σω σον με και εν τη δυ να μει σου κρι

νει ει εις με ε ε

## Προκείμενον.
## Τῇ Πέμπτῃ ἑσπέρας.

### Ἦχος λ̅π̅ Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γην (Δίς)

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γη η ην

Προκείμενον.
Τῇ Παρασκευῇ ἑσπέρας.

Ἦχος Βαρύς

Ο Θε ος αν τι λη πτωρ μου ει ει το ε λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ μου ει ει ει το ε λε ο ος σου προ φθα α σει με ε ε

Εἶτα τὰ Ἀναγνώσματα. Ἐκ τοῦ Μηναίου.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. 10, 7 & 3, 13-16 & ἐκλογή)

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ, Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν, οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστὸς ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδούς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν.

Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γάρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. 10, 31-32 & 11, 1-12)

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται· Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία, στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν

κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. 4, 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας, οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε, ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ

ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε, ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρα ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς

αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισον μὲ τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ, Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων

πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Λιτή. Ἦχος α΄.

Τὸ ἀκένωτον μύρον, Χριστὸς ὁ Θεός, τῇ σῇ ψυχῇ ἐνοικήσας Ἱεράρχα Νικόλαε, μύρῳ νοητῷ τῆς ἀρχιερωσύνης ζῶντα ἐν τοῖς Μύροις σε ἔχρισεν, ὥσπερ ἐλαίῳ ἀγαλλιάσεως. Μετὰ θάνατον δὲ πάλιν, πηγὴν μυροχεύμονα τὸ ζωομύριστον σῶμά σου τῷ κόσμῳ ἀνέδειξε, μύρων αἰσθητῶν ποταμοὺς προχεόμενον· ὧν καὶ ἡμεῖς ὀσφρανθέντες, τὴν ἀνακομιδὴ τῶν λειψάνων σου ἑορτάζομεν σήμερον. Καὶ εἰς ὀσμὴν μύρων σου ἐδράμομεν, ὅτι ὀσμή σου ἡδεῖα, καὶ τὰ ἀρώματά σου ὑπὲρ πάντα τὰ τοῦ κόσμου ἀρώματα, θερμῶς σε ἱκετεύοντρς, παμμακάριστε Πάτερ, πρεσβεύειν ἐκτενῶς τῇ Τριάδι, ἀρεταῖς ἡδυπνόοις μυρισθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Οὐκ ἔφερες μέχρι τέλους, ἄδοξος κατακεῖσθαι ἐν τῇ ἐρήμῳ γῇ τῶν Μυρέων, Ἱεράρχα Νικόλαε· ὅθεν, διὰ τῆς ἐπιφανείας τοῦ θαυματοβρύτου σου λειψάνου, ἐκ γῆς λαγόνων μετακομισθέντος, ἔνδοξος ἐγένου καὶ θαυμαστός, ὥσπερ πρότερον ἐν τῇ Ἀσίᾳ, οὕτως ὕστερον ἐν τῇ Εὐρώπῃ πάσῃ. Μύρα πηγάζων ἑκάστοτε, καὶ θαύματα ἐνεργῶν τοῖς μετὰ πίστεως, προσιοῦσί

σοι, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Πάλιν ἡμῖν ὁ τοῦ κόσμου προστάτης, τῶν δεομένων ὁ βοηθός, καὶ τῶν Χριστιανῶν ἁπάντων τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, Νικόλαος ὁ Χριστοῦ Ἱεράρχης, ὥσπερ πρότερον ἐν τῇ καρδίᾳ τοῦ χειμῶνος, οὕτω σήμερον, ἐν τῇ καρδίᾳ τοῦ ἔαρος ἐπεδήμησε. Τὸ γὰρ ἱερώτατον αὐτοῦ καὶ πανσεβάσμιον σῶμα, ἐπιστασίᾳ φοβερᾷ, εἰς Ἰταλίαν μετακομίσας δι᾽ εὐλαβῶν ἱερέων, ἑορτῆς ὑπόθεσιν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ συνεκρότησε. Πάντες πιστοί, φαιδρῶς ὑπαντήσωμεν τῷ καλῷ ποιμένι. Πρεσβεύει γὰρ ἀεὶ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε ἅπαντες πιστοί, τῷ τοῦ θείου Νικολάου λειψάνῳ προσπέσωμεν, καὶ νοερῶς αὐτὸ περιπτυξώμεθα, ἵνα καὶ τὴν ἐκεῖ ἐνοικοῦσαν θείαν χάριν ἐπισπασώμεθα· ἁγίων γὰρ οὐ τὰ λείψανα μόνον, ἀλλὰ καὶ αὐταὶ αἱ θῆκαι, πνευματικῆς εἰσι πεπληρωμέναι χάριτος. Λιμένες ἐν πειρασμοῖς ἀσφαλεῖς, πηγαὶ θαυμάτων διηνεκεῖς, καὶ θησαυροὶ εὐεργεσίας

ἀνάλωτοι, πάντοτε κενούμενοι καὶ μηδέποτε μειούμενοι. Πρὸς αὐτὸν δὲ ὁλοψύχως βοήσωμεν· Μυροβλύτα Νικόλαε, πρέσβευε ἐκτενῶς τῷ Κυρίῳ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἡ Δέσποινα πρόσδεξαι.

Πλαγίου Τετάρτου.

Ἦχος Νη






Ἦχος λ π ǫ̈ Ἐναρμόνιος




Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

# 20-05-2022 ΕΣΠΕΡΙΝΟΣ ΑΝΑΚΟΜ. ΛΕΙΨ ΑΓ. ΝΙΚΟΛΑΟΥ

## Εἰς τὴν Ἀρτοκλασίαν.

### Ἐπιλογές παρά διαφόρων Διδασκάλων




## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ.Α'



# Θεοτόκε Παρθένε.

Ἦχος πλ. α' Κε




ων
Πλου σι οι ε πτω χευ σαν και ε πει
να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον
ουκ ε λατ τω ω θη σον ται παν το ος
α γα θου
Τὸ τέλος τοῦ τρίτου.
παν το ος α γα
θου ου ου ου ου ου ου

Εἰς τὸν Στίχον στιχηρὰ τοῦ Ἁγίου.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ ἱερὰ κεφαλή· τὸ καθαρὸν τῶν ἀρετῶν καταγώγιον· ὁ θεῖος τῆς θειοτάτης, ἱερωσύνης κανών· ὁ ποιμὴν ὁ μέγας· ὁ φανώτατος, πυρσὸς ὁ τῆς νίκης, ἐπιφερόμενος ὄνομα· ὁ δεομένοις, συμπαθῶς ἐπικλώμενος· ὁ καμπτόμενος, ἀσθενῶν ταῖς δεήσεσι· ῥύστης ὁ ἑτοιμότατος· φρουρὸς ὁ σωτήριος, πᾶσι τοῖς πίστει τελοῦσι, τήν παναοίδιμον μνήμην σου. Χριστὸν καταπέμψαι, παμμακάριστε δυσώπει, τὸ μέγα ἔλεος.

Στίχος. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Ὅλος χαροποιὸς καὶ τερπνός, ὅλος εὐώδης ὅλος στίλβων ἐν χάριτι, ἐκ τάφου νῦν μετετέθης, ὥσπερ νυμφίος φαιδρός, ἐκ παστοῦ ὡραίου ἐξερχόμενος, παμμάκαρ Νικόλαε· διασώζων τὰ σήμαντρα, ἐν σοῖς λειψάνοις ἁγιότητος ἅπαντα· τὸ ἡδύπνοον, τὴν τῶν μύρων ἀνάβλυσιν· μάλιστα δὲ τὰ θαύματα, ἃ πᾶσι τοῖς κάμνουσιν, ἀφθονωτάτως προχέεις, πάθη ποικίλα ἰώμενος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχος. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Χαίροις ὁ ζήλου θείου πλησθείς, ἀπαγωγῆς τε πονηρᾶς λυτρωσάμενος, ἀδίκως μέλλοντας θνῄσκειν, ἐπιστασίᾳ φρικτῇ, καὶ ταῖς δι᾽ ὀνείρων προσφοιτήσεσι. Πηγὴ ἡ πηγάζουσα, ἐν τοῖς Μύροις Νικόλαε, μύρα πλουσίως, καὶ ψυχὰς καταρδεύουσα, τὰ δυσώδη τε, τῶν παθῶν ἀπελαύνουσα. Μάχαιρα τὰ ζιζάνια, τῆς πλάνης ἐκτέμνουσα. Πτύον λικμίζον Ἀρείου, τὰ ἀχυρώδη διδάγματα. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ'.

Ἡ τοῦ ἁγίου Πνεύματος ζωοπάροχος χάρις, τῇ σῇ ψυχῇ ἐνοικοῦσα ἱεράρχα Νικόλαε, πολλὰ δι' αὐτῆς καὶ πρὸς τὸ συνημμένον σῶμά σου διεβίβασε τοῦ θείου κάλλους αὐτῆς τὰ τεκμήρια, ὅλον σε ψυχὴν καὶ σῶμα, ναὸν ἑαυτῆς κατασκευάσασα ἅγιον· διὸ καὶ μετὰ θάνατον, τῆς ψυχῆς σου χωρισθείσης ἀπὸ τοῦ σώματος, ἀχώριστος αὕτη τῶν ἀμφοτέρων διαμεμένηκε· τὴν μὲν ψυχὴν ἐν οὐρανοῖς, μέτοχον τῆς μακαρίας δόξης ἐργασαμένη, τὸ δὲ σῶμα ἐν τάφῳ, ἀδιάφθορον συντηρήσασα, καὶ κρήνην μύρων, καὶ θαυμάτων ὑπερφυῶν, καθ' ἑκάστην ἀποδεικνύουσα· ὢ δόξης ἀκραιφνοῦς, ἧς περ ἠξίωσαι θεομακάριστε πάτερ· ἀλλ' αἴτησαι πρεσβείαις σου, καὶ ἡμῶν χαριτωθῆναι ψυχὰς καὶ τὰ σώματα.

Ἦχος Πα




Ἡ του Α γι ου ου ου Πνευ μα α τος ζω
ο πα ρο χο ος χα α α ρις τη ση ψυ χη ε νοι
κη σα σα α σα Ι ε ρα αρ χα α Νι ι
κο ο ο ο λα α α α ε πολ λα δι αυ
της και προς το συ νημ με νον σω μα α σου δι
ε βι βα σε του θει ου κα α αλ λους α αυ της
τα α τε εκ μη η η η ρι ι ι ι α ο
λον σε ψυ χην τε και αι σω ω ω μα να ον ε
αυ της κα τα σκευ α α σα α σα α α α α
α γι ι ι ι ον δι ο και με τα θα να α
τον της ψυ χης σου χω ρι σθει σης α πο ο του


ου σω ω ω μα α α α τος α χω ρι στος
α αυ τη των αμ φο τε ε ρων δι α α με ε
με ε ε ε νη η η η κε Την μεν ψυ
χην ε ε εν ου ρα α νοις με το χον της μα
κα ρι ι α ας δο ο ο ξης ερ γα σα α με ε ε
νη το δε σω μα εν τα α φω α δι α φθο
ρον συ υν τη η ρη η η η σα α α α σα
και κρη νη ην μυ υ υ ρων και θαυ μα α των
υ υ υ περ φυ υ ων καθ ε κα α στην α πο
ο δει ει κνυ υ υ υ ου ου ου ου σα ω
δο ο ξη ης α κραι αι φνους η σπερ η η ξι ω ω


σαι θε ο μα κα α α α α ρι ι στε ε ε
Πα α α α α τερ αλλ αι τη σαι πρε ε ε
σβει αι αις σου και η μων χα ρι τω θη η ναι
ψυ χα α α ας και τα α σω μα α τα α

## Καὶ νῦν. τῆς Ἑορτῆς Καὶ νῦν...

### Τῆς ἑορτῆς .Ἦχος πλ. δ'.

Μεσούσης τῆς Ἑορτῆς πρό τού Πάθους, καί τής ενδόξου Αναστάσεώς σου Κύριε, ής διδάσκων αγαθέ εν τώ ιερώ, τούς απειθούντας Ιουδαίους, καί Φαρισαίους, καί Γραμματείς, καί βοών πρός αυτούς, ο διψών, ερχέσθω πρός με καί πινέτω, ο πιστεύων εις εμέ, ύδατος ζωής Πνεύματος θείου, ποταμοί ρεύσουσιν εκ τής κοιλίας αυτού, Ώ τής αρρήτου σοφίας τής σής συνέσεως! ο τά πάντα πληρών Θεός ημών δόξα σοι.

Ἦχος Νη



σε ε ως σου ου ου Κυ ρι ι ε ης δι δα

α σκων α γα θε εν τω ι ε ρω

τους α πει θει εις Ι ου δαι αι ους και Φα ρι

σαι αι ους και Γραμ μα α τεις και βο ω ω ω ων

προ ος α α αυ τους ο δι ψων ερ χε

σθω προς με και πι ι νε ε ε τω ο πιστευ ω

ων ει εις ε ε ε με υ υ δα α το ος ζω ω

ης Πνευ μα το ος θει ει ει ου πο τα μοι οι

ρευ σου ου σιν εκ της κοι λι ι ι α

ας α α αυ του Ω της αρ ρη του ου σο ο

φι ι ι α ας της ση ης συ υ νε ε ε ε


ε ε σε ως ο τα πα α αν τα
α πλη η η ρων Θε ο ος η μω ω ων δο ο
ο ο ο ξα α α σοι οι οι οι

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

**Ὅ**τι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: **Ἀ**μήν.

## Ἀπολυτίκια.

### Ἀπολυτίκιον τοῦ Ἁγίου Νικολάου.

Ἦχος δ' Δι



# Δόξα... Καὶ νῦν

## Ἀπολυτίκιον τῆς Μεσοπεντηκοστῆς

### Ἦχος πλ. δ΄ Γα



## Ἀπόλυσις.

ΔΙΑΚΟΝΟΣ: Σοφία

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Ὁ Ἀναγνώστης: Στερεώσαι Κύριος ὁ Θεὸς, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

ΙΕΡΕΥΣ: Δόξα σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

ΧΟΡΟΣ: Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον (γ΄) Πάτερ Ἅγιε εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου,

ἐνδόξου, προφήτου, Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν *(τοῦ ἁγίου τοῦ Ναοῦ)*, τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης *(τοῦ Ἁγίου... τῆς ἡμέρας)* οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Εἶτα τὸ ἐπισφράγισμα·*

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Ἀληθῶς ἀνέστη ὁ Κύριος.

*Τὸν Εὐλογοῦντα.*



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.